13) τούτων τούς. Pro τούτων al. διὰ τούτων. [Explicuerunt hunc genitivi cum verbis vendendi sive emendi significatum habentibus conjuncti usum *Matthiae*. Gr. Gr. II, 678. *Hermann*. ad *Viger*. p. 878 et imprimis *Winer*. Gr. N. T. pag. 169. ed. 3tia. Hic nimirum Vir Doctus non sine acumine de hoc genitivo pretii, quem dicunt, haec monuit; „*Man könnte, nach Massgabe der Construction mit ἐx, diesen Genitiv auf den Begriff des Hervorgehens zurückführen, da das, was für einen Preis gekauft u. s. w. wird, aus dem dafür hingegebenen Preise (Tauschmittel) für uns gleichsam hervorgeht.*“ Cf. *Buttmann*. §. 132, 5, 2. *Thiersch*. §. 255, 10. et *Poppo* ad Xenoph. Anabas. III, 3, 18. *L.*]

1) ἐπιστῦψαι. Rara metaphora. Sic *Alciphron* Epist. 3. lib. 1. τὴν ἀπόνοιαν τῶν πλεόντων ἐπιστύφοντος, *increpantis amentiam eorum, qui vitam undis committunt*. Adde notas *Bergleri*. [Vid. *Passow*. in Lex. s. h. v. *L.*]

2) διακόπτηται. *Si deinde labatur et decidat*. De verbo προσπταίειν vid. Herodot. IX, 107. et 101. I, 65. VI, 54. Hesych. προσπταίοντες· προσκρούοντες, προσκόπτοντες. Cf. Pollux. II, 199. *L.*

3) εἰς ἀκρίβειαν ἥκειν. Sic, διὰ πάσης ἥκοντα τῆς ἐπιστήμης. §. 401. Palatinus, ἐληλαχέναι. utrumque Graecanice. [Hoc posterius verbum probavit *Hasselbach*. *L.*]

Digitized by Google

αὐτὸς ἀνεπίληπτος [4]) ἅπασι γένηται, τότε δυνήσεται μεθ' ὅσης βούλεται ἐξουσίας καὶ κολάζειν καὶ ἀνιέναι τοὺς ὑπ' αὐτῷ ταττομένους ἅπαντας· πρὸ δὲ τούτου οὐκ εὐμαρὲς ταῦτα
459 ποιεῖν. τὴν δὲ μεγαλοψυχίαν οὐ μέχρι τῆς τῶν ἐπαίνων ὑπεροψίας δείκνυσθαι μόνον, [5]) ἀλλὰ καὶ περαιτέρω προάγειν, ἵνα μὴ πάλιν ἀτελὲς ᾖ τὸ κέρδος.

IV. Τίνος οὖν δεῖ καὶ ἑτέρου καταφρονεῖν; βασκανίας [1])
460 καὶ φθόνου. Τὰς δὲ ἀκαίρους κακηγορίας [2]) (καὶ γὰρ ἀνάγκη τὸν προεστῶτα μέμψεις ὑπομένειν ἀλόγους) οὔτε ἀμέτρως δεδοικέναι καὶ τρέμειν, οὔτε ἁπλῶς παρορᾶν καλόν· ἀλλὰ χρὴ κἂν ψευδεῖς τυγχάνωσιν οὖσαι, κἂν παρὰ τῶν τυχόντων ἡμῖν
461 ἐπάγωνται, πειρᾶσθαι σβεννύναι ταχέως αὐτάς. οὐδὲν γὰρ οὕτως αὔξει φήμην πονηράν τε καὶ ἀγαθὴν, ὡς τὸ πλῆθος τὸ ἄτακτον· ἀβασανίστως γὰρ καὶ ἀκούειν καὶ ἐκλαλεῖν [3]) εἰωθὸς, ἁπλῶς τὸ ἐπελθὸν [4]) ἅπαν φθέγγεται, τῆς ἀληθείας
462 οὐδένα ποιούμενον λόγον. Διὰ ταῦτα οὐ δεῖ τῶν πολλῶν καταφρονεῖν, ἀλλὰ ἀρχομένας εὐθέως ἐκκόπτειν τὰς ὑποψίας τὰς πονηρὰς, πείθοντα τοὺς ἐγκαλοῦντας, κἂν ἀλογώτατοι πάντων εἶεν, καὶ μηδὲν ὅλως ἐλλείπειν τῶν δυναμένων ἀφανίσαι δόξαν οὐκ ἀγαθήν. εἰ δὲ, πάντα ποιούντων [5]) ἡμῶν, μὴ θέλωσιν οἱ μεμφόμενοι πείθεσθαι, τὸ τηνικαῦτα καταφρονεῖν· ὡς ἐὰν φθάσῃ τὶς ταπεινοῦσθαι τοῖς συμπτώμασι τούτοις, οὐ δυνήσεταί ποτε γενναῖόν τι καὶ θαυμαστὸν ἀποτεκεῖν. ἡ γὰρ ἀθυμία καὶ αἱ συνεχεῖς φροντίδες, δειναὶ καταβαλεῖν ψυχῆς δύ-

---

4) ἀνεπίληπτος. Vid. beatus *Tittmann*. De Synonym. N. T. Lib. I, p. 31. *L.*

5) δείκνυσθαι. Sic ed. prima. alii adjecere χρὴ, quod e proximo subaudiendum, uti §. 463. [*Hughes* et *Montefalconius* χρὴ addiderunt, quod praeplacet. Durius certe videtur e proximis hoc verbum subaudire. Pro δείκνυσθαι alii habent ἐπιδείκνυσθαι. *L.*]

1) βασκανίας. Huc redit tmemate 475.

2) κακηγορίας. Al. κατηγορίας [quod expressit *Hasselbach*. in versione vernacula. *L*.]

3) ἐκλαλεῖν. Alii ἐγκαλεῖν. Male. Caeterum conferri meretur cum nostro loco Clemens Alexandr. pag. 523. l. 2. ubi aliquod Nicolai effatum vocat τὸ εἰρημένον ἁπλῶς καὶ ἀβασανίστως. *L.*

4) τὸ ἐπελθόν. Idem verbum, §. 25. Germ. *was sie ankommt*. [Sive: *das Erste das Beste*. Vid. *Passow*. in Lex. s. h. v. *L.*]

5) πάντα ποιούντων. Eadem phrasis, cum ὥστε, §. 563. cum ὑπὲρ, §. 412. πάντα πράττειν, cum ὅπως, §. 43. cum ἕνεκα, §. 282.

Digitized by Google

ναμιν· καὶ εἰς ἀσθένειαν καταγαγεῖν τὴν ἐσχάτην. Οὕτως οὖν 463
χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὥσπερ ἂν εἰ
πατὴρ [6]) πρὸς παῖδας ἄγαν νηπίους διακέοιτο· καὶ καθάπερ
ἐκείνων οὔτε ὑβριζόντων, οὔτε πληττόντων, οὔτε ὀδυρομένων
ἐπιστρεφόμεθα, ἀλλ' οὐδὲ, ἡνίκα ἂν γελῶσι καὶ προσχαίρω-
σιν ἡμῖν, μέγα ἐπὶ τούτῳ φρονοῦμέν ποτε, οὕτω καὶ τούτων
μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι, μήτε καταπίπτειν τοῖς ψό-
γοις, ὅτ' ἂν ἀκαίρως γίνωνται παρ' αὐτῶν. Χαλεπὸν δὲ 464
τοῦτο, [7]) ὦ μακάριε, τάχα δὲ, οἶμαι, [8]) καὶ ἀδύνατον. Τὸ 465
γὰρ μὴ χαίρειν ἐπαινούμενον, οὐκ οἶδα εἴ τινι ἀνθρώπων ποτὲ
κατώρθωται· τὸν δὲ χαίροντα, εἰκὸς καὶ ἐπιθυμεῖν ἀπολαύειν
αὐτῶν· [9]) τὸν δὲ ἀπολαύειν ἐπιθυμοῦντα, πάντως καὶ ἐν ταῖς
τούτων ἀποτυχίαις ἀνιᾶσθαι καὶ ἀλύειν [10]) ἀνάγκη. Ὥσπερ 466

---

6) ὥσπερ — πατὴρ. Talis affectus per Homilias ipsius Chrysostomi diffusus est. [De verbo διακεῖσθαι vid. *Matthaei* I. 1. Homil. I. 180. *L.*]

7) χαλεπὸν — τοῦτο. Consequutus tamen hoc, qui obtemperarit saluberrimo *B. Koepkii*, Theologi practici consilio. *Si propter sedulitatem*, inquit, *in officio et dona administrantia oriantur inter nos aemulationes et contentiones; praderit eas fugere et declinare* susceptione s. informatione puerorum, *s. dum ex charitate erga Christum studemus pascere agnos ejus. Si eaedem subriantur in exercitio pietatis et conversatione fraterna: non melius eas evitabimus, quam hujusmodi* lotione pedum *in vera humilitate et caritate instituta: nempe ut qui sunt inter nos firmiores, aliorum infirmitates amice corrigere studeant; et qui sunt infirmiores, humiliter se corrigi patiantur; et pedes exhibeant lavandos, si participes Christi esse et manere voluerint.* Colloq. II. de ἀταξίᾳ vitae paroch. p. 170 s.

8) τάχα δὲ, οἶμαι. Ἀσφαλείας χάριν adhibentur hujusmodi particulae interdum, σχεδὸν, ἴσως, τάχα, vitandae arrogantiae causa, ne videamur asseverare, quae explorate ac certo nescimus. Portus ad Xenoph. p. 298.

9) αὐτῶν. Refertur ad ἐπαίνων, quod latet in ἐπαινούμενον.

10) ἀνιᾶσθαι καὶ ἀλύειν. Sic Augustanus. ἀνιᾶσθαι καὶ ἀλγεῖν, edd. vetustae. ἀλύειν, melius. recentiores cum Palatino, λυπεῖσθαι καὶ ἐκκλίνειν, καὶ ἀνιᾶσθαι καὶ ἀλύειν, (iterum quaedam, ἀλγεῖν·) insoleuti verborum quaternario. Scilicet primum verbum est glossa tertii; secundum quarti. Hem, *Hesychius*: ἀνιᾶται, λυπεῖται· et, ἀλύξιδ, ἐγκλῖναι (leg. ἐκκλῖναι) ἐκφυγεῖν. ἀλύσσω autem, ex quo ἀλύξιδ, idem est quod ἀλύω. Plane igitur haec ex Hesychio videntur assuta. nam etiam §. 307. ad γάνυται Erasmi margo habet λαμπρύνεται, perinde ut Hesychius. Conf. not. ad §. 401. 423. Frequentissimos olim hic dialogus lectores habuit, ex quo multas contraxit glossas, quarum nonnullae in margine ed. Froben. comparent, plures in ipsum librorum contextum inductae sunt, φοβεῖας ne suspicionem quidem incursurae, nisi eas alii codices redarguerent. [De verbo ἀλύειν docte, ut solebat, disputavit *Krebsius* ad Plutarch. de audiend. poët. c. V. p. 130 sq. *L.*]

Digitized by Google

γὰρ οἱ γανύμενοι τῷ πλουτεῖν, ἡνίκα ἂν καταπέσωσιν εἰς πενίαν, ἄχθονται, καὶ οἱ τρυφᾶν εἰωθότες, οὐκ ἂν ἀνάσχοιντο ζῆν εὐτελῶς· οὕτω καὶ οἱ τῶν ἐγκωμίων ἐρῶντες, οὐχ ὅτ' ἂν ψέγωνται μόνον εἰκῇ, ἀλλὰ καὶ ὅτ' ἂν μὴ ἐπαινῶνται συνεχῶς, καθάπερ λιμῷ τινι διαφθείρονται τὴν ψυχὴν, καὶ μάλιστα ὅτ' ἂν αὐτοῖς ἐντραφέντες τύχωσιν, ἢ καὶ ἑτέρους ἐπαι-
467 νουμένους ἀκούωσι. Τὸν δὴ μετὰ ταύτης τῆς ἐπιθυμίας εἰς τὸν τῆς διδασκαλίας ἀγῶνα παρελθόντα, πόσα πράγματα καὶ πόσας ἔχειν οἴει τὰς ἀληδόνας; οὔτε τὴν θάλαττάν ἐστι κυμάτων ἐκτὸς εἶναί ποτε, οὔτε τὴν ἐκείνου ψυχὴν φροντίδων καὶ λύπης.

468 V. Καὶ γὰρ ὅτ' ἂν πολλὴν ἐν τῷ λέγειν δύναμιν ἔχῃ (τοῦτο δε [1]) ἐν ὀλίγοις εὗροι τις ἄν)· οὐδὲ οὕτω τοῦ πονεῖσθαι διηνεκῶς ἀπήλλακται. [2]) ἐπειδὴ γὰρ οὐ φύσεως ἀλλὰ μαθήσεως τὸ λέγειν, κἂν εἰς ἄκρον αὐτοῦ τις ἀφίκηται, τότε αὐτὸν ἀφίησιν ἔρημον, ἂν μὴ συνεχεῖ σπουδῇ καὶ γυμνασίᾳ
469 ταύτην θεραπεύῃ τὴν δύναμιν. Ὥστε τοῖς σοφωτέροις μᾶλλον, ἢ τοῖς ἀμαθεστέροις, μεῖζον ὁ πόνος. [3]) οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ἡ ζημία ἀμελοῦσι τούτοις κἀκείνοις, ἀλλὰ τοσοῦτον αὖτη πλείων, ὅσον καὶ τῆς κτήσεως ἑκατέρας [4]) τὸ μέ-
470 σον. [5]) Κἀκείνοις μὲν οὐδ' ἂν ἐγκαλέσειέ τις, μηδὲν ἄξιον

---

1) δέ. Fort. δή, coll. §. 546.

2) πονεῖσθαι — ἀπήλλακται. Fere eadem suadet nostri aevi concionatoribus *Joh. Aug. Nebe* in libro: *Ueber die Gefahr, sich auszupredigen.* p. 189. „*Wenn das Studium der Wissenschaften, insbesondere derer, die unmittelbar oder mittelbar auf die praktische Religionslehre Beziehung haben, nicht vernachlässigt wird: — — dann sei ohne Sorgen, und verwalte heiter dein Amtsgeschäft mit Vertrauen auf den, bei dem ein guter Wille den ersten Werth hat, und der diesen Willen gewiss segnet. Wenn dir auch die Gedanken nicht in immer wiederkehrender Neuheit und Fülle zuströmen; so wirst du doch nicht Mangel leiden, nicht unfruchtbar sein. — — Indem du dich als denkenden und gewissenhaften Prediger rege fortschreitend und fortarbeitend erkennst, — — bist du auf dem rechten Wege, ein fruchtbarer und nützlicher Prediger zu werden.*“ *L.*

3) μεῖζων ὁ πόνος. Ipse tamen postea *Chrysostomus* non semper longa commentandi tempora aut sumsit aut habuit. Nam multae ejus Homiliae, dum haberentur, exceptae sunt, ac deinde ἐκτεθεῖσαι ἀπὸ σημείων, ex *Notis* descriptae: atque illa in Ps. *Cantate Domino*, memoriae et linguae, si evolveris, lapsum habet, dum ea haberetur, commissum, et cum aliqua cunctatione correctum, totidemque verbis exceptum.

4) ἑκατέρας. Singularis numerus.

5) μέσον. Laudat hanc ob causam b. *Reinhardum*, qui sermonis sublimitate et orationis novitate, quoad viveret, tenere pot-

Digitized by Google

λόγου παρέχουσιν· οὗτοι δὲ εἰ μὴ μείζονα τῆς δόξης, ἧς ἅπαντες ἔχουσι περὶ αὐτῶν, ἀεὶ προφέροιεν, πολλὰ παρὰ πάντων ἔπεται τὰ ἐγκλήματα. Πρὸς δὲ τούτοις ἐκεῖνοι μὲν καὶ ἐπὶ μικροῖς μεγάλων ἂν τύχοιεν ἐπαίνων· τὰ δὲ τούτων, ἂν μὴ λίαν ᾖ θαυμαστὰ καὶ ἔκπληκτα, [6]) οὐ μόνον ἐγκωμίων ἐστέρηται, ἀλλὰ καὶ τοὺς μεμφομένους ἔχει πολλούς. Οὐ γὰρ 471
τοῖς λεγομένοις, ὡς ταῖς τῶν λεγόντων δόξαις, κάθηνται δικάζοντες οἱ ἀκροαταί. ὥστε ὅταν κρατῇ τις ἁπάντων ἐν τῷ λέγειν, τότε μάλιστα πάντων αὐτῷ δεῖ πεπονημένης σπουδῆς. οὐδὲ γὰρ τοῦτο, ὃ κοινὸν τῆς ἀνθρωπείας φύσεώς ἐστι, τὸ μὴ πάντα ἐπιτυγχάνειν, [7]) ἔξεστιν ἐκείνῳ παθεῖν· ἀλλ' ἂν μὴ δι' ὅλου συμφωνῇ τῷ μεγέθει τῆς ὑπολήψεως αὐτοῦ τὰ λεγόμενα, σκώμματα μυρία καὶ μέμψεις λαβὼν παρὰ τῶν πολλῶν ἄπεισι. [8]) Καὶ οὐδεὶς ἐκεῖνο λογίζεται πρὸς αὐτὸν, [9]) 472
ὅτι καὶ ἀθυμία προσπεσοῦσα, καὶ ἀγωνία, καὶ φροντὶς, πολλάκις δὲ καὶ θυμὸς ἐπεσκότησε [10]) τῷ τῆς διανοίας καθαρῷ,

---

uerit auditores suos, *Tzschirnerus*, ὁ νῦν ἐν ἁγίοις, in libro: *Briefe, veranlasst durch Reinhards Geständnisse*; Lips. 1811. pag. 88 sq. „*Jedes Jahr aber neu zu erscheinen, ohne jemals eine frühere Arbeit, nicht einmal die Hauptgedanken einer früheren Predigt wieder benutzen zu können, — — das setzt eine seltene Fruchtbarkeit des Geistes, eine unerschöpfliche Erfindungskraft voraus. Dabei immer sich gleich zu bleiben, nichts seiner Unwürdiges sich entfallen zu lassen, ein an das Vortreffliche gewöhntes Publicum fortwährend zu befriedigen (denn, wie Chrysostomus, welcher damit seine eigene Empfindung ausgesprochen zu haben scheint, richtig bemerkt* [respicit vir egregius ad nostrum locum], *dem vortrefflichen Kanzelredner ist es wegen der Vortrefflichkeit, die man an ihm gewohnt ist, schwerer, als dem mittelmässigen, seinem Auditorium stets zu genügen*), *dazu bedarf es auch bei dem fruchtbarsten und glücklichsten Genie einer steten Sorgfalt, eines unermüdeten Fleisses, einer ununterbrochenen Anstrengung.* L.

6) ἔκπληκτα. Ἔκπληκτος active et passive dicitur, ut multa ejus formae alia.

7) τὸ μὴ πάντα ἐπιτυγχάνειν. Vet. int. *id est, ut ex interjecto placeat.* Videtur adagium fuisse.

8) λαβὼν ἄπεισι. Hypallage. conf. p. 427. [Vid. de usu participii λαβών cum aliis verbis conjuncti *Sturz.* in Lex. Xenophont. III, 13. *Valckenar.* ad Eurip. Phoeniss. 481. et *Passow.* in Lex. s. h. v. *L.*]

9) πρὸς αὐτόν. Sic πρὸς, *quod attinet*, §. 152. Sed Savil. πρὸς ἑαυτόν. [*Montefalconius* habet etiam πρὸς αὐτόν. *Ducaeus* et *Hughes* defendunt lectionem πρὸς ἑαυτόν, quae sola vera lectio esse videtur. *L.*]

10) ἐπεσκότησε. Placet hoc, quia Dativus adest. al. ἐπεσκότισε. Sed quamquam σκοτίζω dicitur, non σκοτέω, tamen ἐπισκοτέω frequentius est. ἐπισκοτίζω exstat apud Polybium, Macarium

Digitized by Google

καὶ τὰ τικτόμενα οὐκ ἀφῆκε προελθεῖν εἰλικρινῆ· καὶ ὅτι ὅλως, ἄνθρωπον ὄντα, οὐκ ἔστι διὰ παντὸς εἶναι τὸν αὐτὸν, οὐδὲ ἐν ἅπασιν εὐημερεῖν· 11) ἀλλ' εἰκός ποτε καὶ διαμαρτεῖν, καὶ ἐλάττονα τῆς οἰκείας δειχθῆναι δυνάμεως. τούτων οὐδὲν, ὅπερ ἔφην, ἐννοῆσαι βούλονται· ἀλλ' ὥσπερ ἀγγέλῳ δικάζοντες,
473 ἐπάγουσι τὰς αἰτίας. Καὶ ἄλλως δὲ πέφυκεν ἄνθρωπος τὰ μὲν κατορθώματα τοῦ πλησίον, καὶ πολλὰ ὄντα καὶ μεγάλα, παρορᾶν· ἢν δὲ ἐλάττωμά που φανῇ, κἂν τὸ τυχὸν ᾖ, κἂν διὰ πολλοῦ συμβεβηκὸς, 12) καὶ ἐπικοσθάνεται ταχέως, καὶ ἐπιλαμβάνεται προχείρως, καὶ μέμνηται διαπαντός. καὶ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς, τὴν τῶν πολλῶν καὶ μεγάλων ἠλάττωσε δόξαν πολλάκις.

474 VI. Ὁρᾷς, ὦ γενναῖε, ὅτι μάλιστα τῷ λέγειν δυναμένῳ πλείονος δεῖ τῆς σπουδῆς· ἐπὶ δὲ τῇ σπουδῇ καὶ ἀνεξικακίας τοσαύτης, ὅσης οὐδὲ ἅπαντες, ὅσους πρότερόν σοι διῆλθον,
475 ἐδέοντο. Πολλοὶ γὰρ αὐτῷ συνεχῶς ἐπιφύονται 1) μάτην καὶ εἰκῇ, καὶ οὐδὲν ἔχοντες ἐγκαλεῖν, πλὴν ὅτι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν 2) ἀπεχθάνονται· καὶ δεῖ γενναίως φέρειν τὴν πικρὰν

---

et Ephraimi Syri metaphrasten. [Parum interest, utrum ἐπεσκότησε, an ἐπεσκότισε legamus. Utrumque enim verbum cum tertio casu construitur. Est vero ἐπισκοτίζειν, s. ἐπισκοτεῖν cum Dativo, quod nos dicimus: *Schatten machen*, quae verbi notio apprime quadrat in nostrum locum. Cf. *Schäfer*. ad Dion. de composit. verbor. p. 148. *L.*]

11) εὐημερεῖν, quod proprie notat *bonos dies habere*, est deinde, *prospere agere*, bene rem gerere. Dicitur εὐημερία imprimis de ducibus victoriam reportantibus. Cf. *Perizon*. ad Aelian. V. H. XIII, 38. *Schleusner*. Lex. in LXX. Interpret. s. h. v. et quae Suidas ex Hyperide affert in v. εὐημερήσαντες. *L.*

12) κἂν διὰ πολλοῦ συμβεβηκός. „Interpres vetus melius expressit, *longo intervallo accidens*, non enim vult auctor, errorem illum jamdiu accidisse; verum eum raro solere labi errore, qui id admiserit. Hic ergo scribendum: *Isque vel ex longo intervallo aberraverit.*" *Fronto Ducaeus.* — Addit ad haec *Ducaei* verba *Montefalconius* haecce: „Non liquet, utro Chrysostomus sensu loquatur. Certe haec interpretatio, *quamvis jamdiu acciderit*, quadrare videtur ad sensum, sin minus Frontonis sententiam amplecti, commodius scribas, *quamvis admodum infrequenter acciderit*, vel, *post longum intervallum acciderit*. Nam ea, quam Fronto proponit interpretatio, non omnino perspicua est." *L.*

1) ἐπιφύονται, *adoriuntur*. Cf. 2. Maccab. XV, 17. ad quem locum haecce annotavit *Baduellus*: „Verbum est desumtum a plantis et stirpibus, quae ἐπιφύονται, adnascentes insurgant. H. l. eos significat, qui aliis vim inferunt." *L.*

2) πλὴν ὅτι τὸ παρὰ πᾶσιν εὐδοκιμεῖν ἀπεχθάνονται. Sic, πλὴν ὅτι τὸ, Augustanus: vet. int. *propter hoc solum, quod eum placere non sustinent*. πλὴν, ed. novissima. πλὴν

τούτων βασκανίαν. Τὸ γὰρ ἐπάρατον τοῦτο μῖσος, ὅπερ εἰκῇ 476
συλλέγουσιν, οὐ στέγοντες κρύπτειν, καὶ λοιδοροῦνται, καὶ καταμέμφονται, καὶ διαβάλλουσι λάθρα, καὶ πονηρεύονται φανερῶς. Ψυχὴ δὲ ἀρξαμένη καθ' ἕκαστον τούτων ἀλγεῖν καὶ παροξύνεσθαι, οὐκ ἂν φθάσειε διαφθαρεῖσα [3]) τῇ λύπῃ. Καὶ 477
γὰρ οὐ δι' ἑαυτῶν αὐτὸν ἀμύνονται μόνον, ἀλλὰ καὶ δι' ἑτέρων τοῦτο ποιεῖν ἐπιχειροῦσι· καὶ πολλάκις τινὰ τῶν οὐδὲν δυναμένων εἰπεῖν ἐκλεξάμενοι, τοῖς ἐπαίνοις ἐπαίρουσι, καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν· οὗ μὲν ἀμαθίᾳ, [4]) οἱ δὲ καὶ ἀμαθίᾳ καὶ φθόνῳ τοῦτο ποιοῦντες, ἵνα τὴν δόξαν τούτου

τοῦ, prima, hoc sensu, si στιγμὴν injicias: *tamen applausus omnium* causa, ei *sunt infensi*. nam πλὴν pro *tamen* Herodianus I. 2. c. 2. sed frequentius πλὴν ἢ *nisi*, et commodior ὅτι τὸ lectio.

3) οὐκ ἂν φθάσειε διαφθαρεῖσα. Sav. et quidam Mss. κἂν φθάσειε διαφθαρῆναι. *Montef.* Sic, φθάσῃ ἁλῶναι. §. 484. sed praestat participium [quod et defendit *Hughes* p. 302. *L.*] κἂν est a sedulo librario. φθάνω, *antevenio*. §. 6. 66. 147. παρέλκει, §. 462. οὐκ ἂν φθάνοιμι ποιῶν, insignis idiotismus, qui semper affirmat, etiam in ep. Solonis σόλων περιάνδρῳ. ἀπαγγέλλεις μοι, πολλούς τοι ἐπιβουλεύειν. σὺ δὲ εἰ μὲν μέλλεις ἐκποδὼν ἅπαντας ποιήσεσθαι, οὐκ ἂν φθάνοις. vid. *Diog. Laert.* p. 23. ed. H. Steph. Interpres, *ne sic quidem proficies*. immo sic, οὐκ ἂν φθάνοις, scil. ἐπιβουλεύομενος, *insidiae tibi cum maxime fient*. Eadem ratio exemplorum est, quae Budaeus et lexicographi notarunt. Itaque τὸ οὐκ debet de *alio* accipi, per ellipsin, sic: *non potius aut prius fecerim quicquam aliud atque hoc*. taliaque sunt illa: προὔργου τι ποιεῖ, quasi πρὸ ἔργου, παντὸς ἄλλου δηλονότι. item, οὐ γὰρ ἀλλὰ, οὐ μὴ ἀλλὰ, οὐκοῦν, οὐδὲν οἷον, omnia affirmante sensu: et illa: *quid faciam? quid facerem? facere nil potui*, scil. *aliud*. Ellipsin ἄλλως adverbii Budaeus exemplis comprobavit. Itaque haec verba, οὐκ ἂν φθάσειε διαφθαρεῖσα, hoc innuunt, *nulla alia re citius aut vehementius conficietur*. [Vid. de hoc usu verbi φθάνειν in optativo, cum praecedente οὐκ et sequente participio *Fischer*. ad Platon. Phaedon. *Zeune* ad Viger. p. 320. et *Passow* in Lex. s. v. φθάνειν. Aliter tamen censet de h. v. *Hermann*. ad Viger. p. 764. qui contendit, φθάνειν proprie esse *cessare, desinere*, ita ut sit v. c. φθάνει ποιῶν, desinit facere. Hinc οὐ φθάνει foret, non cessat, i. e. perpetuo fit, ut in Eurip. Oreste v. 933., quem locum attulit Hermannus: εἰ γὰρ ἀρσένων φόνος ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν θνήσκοντες: i. e. *Si licebit mulieribus impune occidere maritos, non cessabunt caedes*. Quam rationem secuti nostrum quoque locum ita explicamus: *Animus, qui singulis his malis dolere atque exacerbari coeperit, non cessabit tristitia confici*, i. e. *perpetua tristitia conficietur*. *L.*]

4) οἱ μὲν ἀμαθίᾳ. Sic Morel. et vet. int. conf. §. 479. Al. οἱ μὲν μανίᾳ, vel, οἱ μὲν μανίᾳ μόνον. [Hanc postremam lectionem receperunt *Hughes* et *Montefalconius*. Vetus tamen Interpres habet *Imperitia*. Et pugnant etiam pro lectione ἀμαθίᾳ verba, quae paulo post leguntur: καὶ τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγιγνώσκειν. *L.*]

Digitized by Google

καθέλωσιν, οὐχ ἵνα δείξωσι θαυμαστὸν τὸν οὐκ ὄντα τοιοῦ-
478 τον. Οὐ πρὸς τούτους δὲ μόνον ἐκείνῳ τῷ γενναίῳ ὁ ἀγών, ἀλλὰ καὶ πρὸς ἀπειρίαν ὅλου δήμου πολλάκις. ἐπειδὴ γὰρ οὐκ ἔστιν ἐξ ἐλλογίμων [5]) ἀνδρῶν συλλέγεσθαι τοὺς συνερχομένους ἅπαντας, ἀλλὰ τὸ πλέον τῆς ἐκκλησίας μέρος ἐξ ἰδιωτῶν συνῆχθαι συμβαίνει, τοὺς δὲ λοιποὺς καὶ αὐτοὺς ἐκείνων μὲν [6]) εἶναι συνετωτέρους, τῶν δὲ λόγους κρῖναι δυναμένων λείπεσθαι πολλῷ πλέον, ἢ ὅσον ἐκείνων [7]) οἱ λοιποὶ πάντες, ἕνα δὲ μόνον [8]) ἢ δεύτερον καθῆφθαι τὸν ταύτην κεκτημένην τὴν ἀρετήν· ἀνάγκη, τὰν ἄμεινον εἰπόντα ἐλάττονας ἀπενέγκασθαι
479 κρότους, ἔστι δὲ ὅτε μηδὲ ἐπαινεθέντα ἀπελθεῖν. Καὶ δεῖ πρὸς ταύτας γενναίως παρεσκευάσθαι τὰς ἀνωμαλίας· [9]) καὶ τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν· τοὺς δὲ διὰ φθόνον τοῦτο ὑπομένοντας [10]) δακρύειν, ὡς ἀθλίους ὄντας καὶ ἐλεεινούς· μηδ' ἑτέρῳ δὲ τούτων ἐλάττω τὴν αὐτοῦ νο-
480 μίζειν γεγενῆσθαι δύναμιν. Οὐδὲ γὰρ, εἰ ζωγράφος ὢν ἄριστος, καὶ πάντων κατὰ τὴν τέχνην κρατῶν, τὴν μετὰ πολλῆς

5) ἐξ ἐλλογίμων. Ἐλλόγιμος dicitur, qui amplitudine aut claritate excellit, ut apud *Xiphil.* οἱ ἱππεῖς οἱ ἐλλόγιμοι. inde, qui in *literis* excellit. *Hesychius*, ἐλλόγιμος, γεγραμματισμένος. Itaque ἐλλόγιμοι h. l. statim dicuntur οἱ λόγους κρῖναι δυνάμενοι. Atque his opponuntur ἰδιῶται, de quibus §. 413 not. Inter ἐλλογίμους autem et ἰδιώτας medii sunt, qui et hos vincunt ut συνετοὶ, et ab illis vincuntur ut ἀγράμματοι. infimumque hic locum ἰδιῶται tenent, ut apud *Macarium*: εἰς χωρίον ἐάν τις ἀπέλθῃ, ὀλίγα γράμματα εἰδὼς, ὅπου εἰσὶν ἰδιῶται, δοξάζεται ὑπ' αὐτῶν ὡς σχολαστικός. Hom. 26. [Totum hunc locum *Cramerus* vernaculo sermone ita expressit: „*Der grösste Theil der Kirche* (*der Versammlung*) *besteht gemeiniglich aus Unverständigen. Die übrigen sind zwar verständiger als diese; allein sie sind der Menge nach von denen, welche über die Beredtsamkeit urtheilen können, so weit verschieden, als diese sich von den andern unterscheiden* (ergo: perpauci tantum adsunt, qui justum de oratione sacra judicium ferre possint), *indem nur einer oder der andere zugegen ist, der diese Vollkommenheit besitzt. L.*]

6) ἐκείνων μέν. Τῶν ἰδιωτῶν.

7) ὅσον ἐκείνων. Τῶν συνετωτέρων.

8) μόνον. Vet. int. *vix.* Savil. μόλις.

9) ἀνωμαλία. Cf. Euseb. H. E. II, 6. init. τοιαύτη μὲν οὖν τις ἡ Γαΐου περὶ τὸ ἦθος ἦν ἀνωμαλία, ubi crudelitatem immoderatam Caji innuit voc. ἀνωμαλία. Vid. *Matthaei* l. l. Homil. I, not. 156. H. l. optime exprimitur germanice: *Unordnungen. Gegen diese Unordnungen muss er sich nun muthig rüsten. L.*

10) πάσχουσι — ὑπομένοντας. *Atque debet iis quidem, quibus haec per insciitiam accidunt, ignoscere:* eos autem, qui per *invidentiam hoc admittunt*, deplorare. Pertinet hoc ad veniam impetrandam. In querela gravius dixerat, *faciunt.* §. 477.

Digitized by Google

τῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταπεσεῖν, καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων φαύλην ἄγειν τὴν γραφήν· ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην, θαυμαστήν τινα καὶ ἐπέραστον, ἀπὸ τῆς τῶν ἀτέχνων ἐκπλήξεως.

VII. Ὁ γὰρ ἄριστος [1]) δημιουργὸς αὐτὸς ἔστω καὶ κρι- 481
τὴς τῶν αὐτοῦ τεχνημάτων, καὶ καλὰ καὶ φαῦλα ταύτῃ τιθέσθω τὰ γενόμενα, ὅτ' ἂν ὁ τεχνησάμενος αὐτὰ νοῦς [2]) ταύτας φέρῃ τὰς ψήφους· τὴν δὲ τῶν ἔξωθεν δόξαν, τὴν πεπλανημένην καὶ ἄτεχνον, μηδὲ εἰς νοῦν βαλέσθω ποτέ. Μὴ 482
τοίνυν μήτε ὁ τῆς διδασκαλίας ἀναδεξάμενος τὸν ἀγῶνα, ταῖς τῶν ἔξωθεν εὐφημίαις προσεχέτω, μηδὲ ἀπὸ τούτων τὴν ἑαυτοῦ καταβαλλέτω ψυχήν· ἀλλ' ἐργαζόμενος τοὺς λόγους, ὡς ἂν ἀρέσειε τῷ Θεῷ [3]) (οὗτος γὰρ αὐτῷ κανὼν καὶ ὅρος ἔστω

---

1) *ὁ γὰρ ἄριστος.* Talis postea cognitus est Chrysostomus. Certe *N. Caussinus* e S. J. in libris de Eloq. sacra et hum. passim virtutes ejus extollit; maximeque in libro XVI. qui ipse liber inscribitur Chrysostomus sive Idea, eum *magnanimitatis, pietatis, temperantiae, prudentiae, humilitatis, constantiae, zeli, facundiae, gravitatis in dicendo, majestatis eloquentiae, vehementiae, austeritatis, suavitatis, fugae plausuum, doctrinae et popularitatis* nomine, instar omnium esse ostendit. Conf. Cl. *Peracher.* Tr. Germ. pro Jubil. Tigur. p. 218.

2) *ὁ τεχνησάμενος αὐτὰ νοῦς.* Verissime dictum. nam alter quamvis bonus judex, de sermone, vel, ut hoc addam, de libro, vel per literas vel verbo sententiam ferens, facillime ea praetermittit, quae auctoris animo aut maxime aut minime placebant; multa secus interpretatur, multa sine causa aut praeter modum a veritate, utilitate, concinnitate laudat, aut contra reprehendit. Idcirco aut a censura plane abstinendum est, aut dicentis cujusque scribentisve idea penitus indaganda.

3) *μὴ τοίνυν — ἀρέσειε τῷ θεῷ. Praeclarum* hunc appellat *locum* Balduinus in Ep. Pauli p. 697. Ac Cynosura SS. Synodi Russicae supra laudata quum tota saluberrimis scatet institutis, tum concionatoribus in hanc ipsam sententiam complures impertit regulas p. 54 ss. Videamus nervos: *I. Concionaturi doctrina collegio ecclesiastico probata sit oportet. II. Concionatorum est solide e Scriptura sacra demonstrare poenitentiam, vitae emendationem, reverentiam erga principes, officia omnium generum, superstitionem eradicare, timorem Dei plantare. Ad summam, voluntatem Dei sanctam, bonam, perfectam, e Scriptura sacra discere et pronunciare. III. Elencho nominali neminem peccantem exacerbanto. IV. neque reprehensiones suas in quenquam vindictae causa accommodanto. V. Concionatorem, juvenem praesertim, non decet cum imperio loqui: in epanorthosi modestius NOS quam VOS dicet. VI. Quilibet ecclesiastes* S. Chrysostomi Opera *penes se habeto sedulaque legito, ut puram et perspicuam reddat orationem, etiamsi Chrysostomi facultatem non assequatur. Leves autem Postillas, qua-*

μόνος τῆς ἀρίστης δημιουργίας ἐκείνων, μὴ κρότοι, μηδὲ εὐφημίαι) εἰ μὲν ἐπαινοῖτο καὶ παρὰ τῶν ἀνθρώπων, μὴ διακρουέσθω [4]) τὰ ἐγκώμια· μὴ παρεχόντων δὲ αὐτὰ τῶν ἀκροα-
483 τῶν, μηδὲ ζητείτω, μηδὲ ἀλγείτω. ἱκανὴ γὰρ αὐτῷ παραμυθία τῶν πόνων, καὶ πάντων [5]) μείζων, ὅτ' ἂν ἑαυτῷ συνειδέναι δύνηται, πρὸς ἀρέσκειαν τοῦ Θεοῦ συντιθεὶς καὶ ῥυθμίζων τὴν διδασκαλίαν.

484 VIII. Καὶ γὰρ ἂν φθάσῃ τῇ τῶν ἀλόγων ἐπαίνων ἐπιθυμίᾳ ἁλῶναι [1]) οὐδὲν αὐτῷ τῶν πολλῶν πόνων ὄφελος, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως. Τὰς γὰρ ἀνιήτους τῶν πολλῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχή, ἐκλύεται [2]) καὶ

---

les Polonicae esse solent, plane missas facito. VII. Orator sacer, ubi sentit, homiliis suis aliquid profici, ne glorietur: *ubi nihil sentit,* ne stomachetur neve expostulet. *Illius est duntaxat concionari: cor humanum convertere, Dei opus est. VIII. Palpebrae non attollendae sunt, brachia non jactanda: nulla suae sapientiae aut eloquentiae admiratio nec verbis nec gestu alenda. IX. Et corporis et animi motus temperati sunto. X. A mentione hominis habitae ipse abstineto in conviviis congressionibusque, et applaudentium sermones ab ea deducito.* Pari modo Centum e pluribus capita ministro ecclesiae vitanda, *Balth. Menzeri* Disputationibus synodalibus adjecta hi V. articuli concludunt: *Destitui interiori illius doctrinae sensu, quam aliis vult commendare. In semetipso non excuscitare affectum, quem aliis vult imprimere. Zeli ardorem praese ferre, et interim securo esse animo. Non prius tacita super peccatis populi cogitatione discruciari, quam indignationis signa edere. Unquam preces omittere, ut feliciter succedat omne cum populo in sacris dispensandis negotium.* Porro *Spenerus* in Aphorismis aureis, ad quos ministri ecclesiae se explorent, hunc habet: *Summamne minister dederit operam, ut ne ipse esset, qui ex se officium faceret, sed se Deo organon permitteret?* Vide etiam Aphorismos ibi sequentes, et Ven. D. *Pauli Antonii* Elementa homiletica cum Monitis ex *Fr. Lamberto*, iterumque lib. *Wecker der Lehrer* p. 126 ss. Quae qui observarit, hoc consecuturus est, ut uni Deo placere curet, et Deo piisque auditoribus placeat.

4) μὴ διακρουέσθω. *ne repudiet.* vid. de hujus verbi significatu *Krebs.* ad Plutarch. de Audiend. Poët. Cap. VIII, p. 170. *L.*

5) πάντων. Id est, πόνων. *Cant. ed. II.* Est anthithetum πάντων, ἑαυτῷ i. e. *major consolatio consolationes eas, quam* omnes ceteri *dare queant.* Sermo concisus, uti §. 211. [*Savilius.* in margine γρ. πόνων, et referatur ad παραμυθία. Sed maneat πάντων. Et vertes: *Satis enim magnum est solatium,* et quod *omnes labores abunde* compensat. *Hugkes.*]

1) φθάσῃ — ἁλῶναι. *Nam si laudis cupidine abreptus fuerit.* Habes hic verbum φθάνω cum infinitivo. Solemnior hujus verbi structura est cum participio juncti vid. *Matthiae* Gr. p. 802 et *Goeller.* ad Thucyd. I, c. 33. p. 110 seq. *L.*

2) ἐκλύεται. *animus fatiscit.* vid. Diod. Sic. XX, 1. Polyb. XXIX, 6, 14. 1. Maccab. IX, 8. *Schleusner.* in Lex. N. T. et *Matthaei* I. I. Homilia II, not. 94. *L.*

Digitized by Google

τὴν περὶ τὰ λέγειν ῥίπτει σπουδήν. Διὰ τοῦτο χρὴ μάλιστα πάντων πεπαιδεῦσθαι ἐπαίνων ὑπερορᾶν· οὐ γὰρ ἀρκεῖ τὸ λέγειν εἰδέναι πρὸς τὴν ταύτης τῆς δυνάμεως φυλακήν, ἂν μὴ καὶ τοῦτο προσῇ. Εἰ δέ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι καὶ τὸν 485
ἐν ἐνδείᾳ καθεστῶτα ταύτης τῆς ἀρετῆς· εὑρήσει δεόμενον τοῦ τῶν ἐπαίνων καταφρονεῖν οὐχ ἧττον, ἢ τοῦτον. Καὶ γὰρ 486
πολλὰ ἁμαρτάνειν ἀναγκασθήσεται, τῆς τῶν πολλῶν δόξης ἧττων γενόμενος· ἀτονῶν γὰρ ἐξισωθῆναι [3]) τοῖς εὐδοκιμοῦσι [4]) κατὰ τὴν τοῦ λέγειν ἀρετήν, ἐπιβουλεύειν τε αὐτοῖς καὶ διαφθονεῖσθαι, καὶ μέμφεσθαι μάτην, καὶ πολλὰ τοιαῦτα ἀσχημονεῖν οὐ παραιτήσεται, ἀλλὰ πάντα τολμήσει, κἂν τὴν ψυχὴν ἀπολέσθαι δέῃ, ὑπὲρ τοῦ τὴν ἐκείνων δόξαν εἰς τὴν τῆς 487
ἰδίας εὐτελείας καταγαγεῖν ταπεινότητα. Πρὸς δὲ τούτοις καὶ τῶν ἱδρώτων ἀποστήσεται τῶν περὶ τὸ πονεῖν, νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης [5]) αὐτοῦ τῆς ψυχῆς. τὸ γὰρ πολλὰ μοχθοῦντα ἐλάττονα καρποῦσθαι ἐγκώμια, ἱκανὸν καταβαλεῖν καὶ τρέψαι πρὸς ὕπνον βαθύν, τὸν οὐ δυνάμενον ἐγκωμίων καταφρονεῖν· ἐπεὶ καὶ γεωργὸς, ὅτ' ἂν εἰς λεπτόγεων [6]) κάμνῃ χωρίον καὶ πέτρας ἀναγκάζηται γεωργεῖν, ταχέως ἀφίστα-

3) ἐξισωθῆναι. *Motus comparationis* (de quo vid. **Buddei** diss.) ut nonnihil interdum utilitatis habeat, incredibiliter noxius in politia et ecclesia semper fuit.

4) τοῖς εὐδοκιμοῦσι. Idem verbum, §. 60. 275. 475. 544.

5) νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης αὐτοῦ τῆς ψυχῆς. Sic l. 3. pro Vita mon. c. 15. φροντίδες ἱκαναὶ πολλὴν τῆς ψυχῆς κατασκεδάσαι νάρκην. Aristophanes, τί ποθ' ὥσπερ νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται; nam Hesychius, κατασκεδάσαι, καταχέαι. Palatinus, τῇ ψυχῇ· idem §. 494, τῇ ἑαυτοῦ ψυχῇ. Exempla utriusque casus cum κατασκεδάζω ex Chrysostomo dat Suicerus. Confert huc *Cant. ed. secunda* locum Xenophontis, ἀναστὰς ὁ σεύθης (Thrax. scil.) συνεξέπιε καὶ συγκατεσκέδασε τῷ μετ' αὐτοῦ τὸ κέρας· et a doctis varie habitum nova ratione tentat, τῶν μετ' αὐτοῦ legens. Illud recte docetur, innui morem Thracum, qui, cum in convivio sat bibissent, reliquum vini contra vestes sodalium effundere solerent; id quod dicebant κατασκεδάζειν. [Testis hujus rei est Suidas, qui, ἔθος ἦν, inquit, Θράκιον ἐν τοῖς συμποσίοις, ἵνα, ὅταν πίωσι τοῦ οἴνου οἱ συμπόται ὅσον δύνωνται, τὸ λοιπὸν τοῦ οἴνου καταχέωσι κατὰ τῶν ἱματίων τῶν συμποτῶν· ὅπερ ἔλεγον κατασκεδάζειν. Cf. Plato De Legg. Lib. I, pag. 31. Bip. *L.*] Sed hic quidem τῷ regitur à σὺν, unde quum Athenaeus et Suidas verba Xenophontis inducant, apud hunc τὸ vitiose, sed tamen simili sono, apud illum plane τῷ exstat. [De loco Xenophonteo, cujus mentionem facit *Bengel*, et qui legitur in Anabas. VII, 3, 16. vid. *Poppo* in edit. hujus libri p. 380. De vocabulo νάρκη) *torpedo*, vide, quae observavit *Matthaei* l. l. T. I, Homilia II, not. 95. p. 101. *L.*]

6) λεπτόγεων. Λεπτόγεως, λεπτὴ γῆ, μὴ λιπαρά. Hesych. *Cant. ed.* 2. [Eadem editio habet λεπτόγειον. Tantandem. *L.*]

Digitized by Google

ται τοῦ πονεῖν, ἢν μὴ πολλὴν περὶ τὸ πρᾶγμα κεκτημένος ᾖ
488 τὴν προθυμίαν, ἢ λιμοῦ δέος ἐπικείμενον ἔχῃ. Εἰ γὰρ οἷ μετὰ πολλῆς τῆς ἐξουσίας δυνάμενοι λέγειν, τοσαύτης δέονται τῆς γυμνασίας πρὸς τὴν τῆς κτήσεως φυλακήν· [7]) ὁ μηδὲν ὅλως συναγαγὼν, ἀλλ' ἐν τοῖς ἀγῶσιν ἀναγκαζόμενος μελετᾶν, [8]) πόσην ὑποστήσεται τὴν δυσχέρειαν, πόσον θόρυβον, πόσην ταραχὴν, ἵνα πολλῷ τῷ μόχθῳ μικρόν τι συναγαγεῖν
489 δυνηθῇ; Ἂν δέ τις καὶ τῶν μετ' αὐτοῦ [9]) τεταγμένων, καὶ τὴν ἐλάττω τάξιν λαχόντων, ἐν τῷ μέρει τούτῳ μᾶλλον ἐκείνου διαφανῆναι δυνηθῇ· θείας τινὸς δεῖ ψυχῆς ἐνταῦθα, ὥστε μὴ ἁλῶναι βασκανίᾳ, μηδὲ ὑπὸ ἀθυμίας καταπεσεῖν. τὸ γὰρ ὑπὸ τῶν ἐλαττόνων παρευημερεῖσθαι αὐτὸν ἐν ἀξιώματι καθεστῶτα μεῖζονι, καὶ φέρειν γενναίως, οὐ τῆς τυχούσης, οὐδὲ
490 τῆς ἡμετέρας, ἀλλά τινος ἀδαμαντίνης ἂν εἴη ψυχῆς. Κἂν μὲν ἐπιεικὴς ᾖ καὶ μέτριος ἄγαν ὁ παρευδοκιμῶν, φορητὸν ὁπωσοῦν γίνεται τὸ πάθος· ἂν δὲ καὶ θρασὺς καὶ ἀλαζὼν καὶ φιλόδοξος, θάνατον [10]) ἐκείνῳ καθ' ἑκάστην εὐκτέον ἡμέραν,

---

7) πρὸς τὴν τῆς κτήσεως φυλακήν, *ut eam, quam possident, dicendi facultatem non amittant. L.*

8) μελετᾶν. Verbum hoc Sophistis frequens Chrysostomus *in* hac tota disputatione videtur studio vitasse: tantum hîc adhibet oxymori gratia, ἐν τοῖς ἀγῶσι μελετᾶν. namque μελέτη est ante ἀγῶνα. Vid. Not. ad *Gregori Thaum.* Paneg. p. 166. *Luciani* pseudologistam, et conf. *Cic.* l. 1. de Or. c. 60. Lucem affert idem *Gregorius* tmem. 6. νοήσει μὲν καὶ εὑρήσει φίλον πως καὶ συνεργὸν ἐστι σιωπὴ, τὸ δὲ εὔλαλον καὶ εὔηχον ἐν λόγῳ οὐκ ἀλλαχόθι ἄν που ζητῶν εὕροις, ἢ ἐν φωναῖς καὶ τῇ τούτων συνεχεῖ μελέτῃ. i. e. *cogitatione* etc. *quam in declamationibus earumque assidua commentatione.* Opponuntur *silentio*, et τὸ εὔλαλον καὶ εὔηχον alere dicuntur, et μελέτη et *declamatio;* quarum illa hanc Graecis, haec illam Romanis simul connotare solet: utramque autem Gregorius, enumerationis plenitudinem quaerens, exprimere conatus est. Sic, opinor, expedita sunt, quae elegans Euphemeris, *Historie der Gelehrsamkeit unserer Zeiten,* VII. *Stäck* p. 590 s. in recensione Panegyrici haud pridem editi de hoc loco attigit, *declamationem* suggerens pro *commentatione.* at nos gratiam monitori humanissimo habentes, sic *declamationes* (quum antea φωνὰς cum Rhodomano *voces* dixissemus) nunc amplectimur, ut *commentationem* retineamus. quo ipso etiam Chrysostomi locus ejusque interpretatio declarata est.

9) αὐτοῦ. Al. αὐτὸν, sensu eodem: nisi quod αὐτοῦ cum μετὰ et *conjunctum* et *adjunctum* notat, quod utrumque ad rem pertinet. [Praeferendum videtur αὐτόν. Verba sequentia καὶ τὴν ἐλάττω τάξιν λαχόντων sapiunt glossema. *L.*]

10) θάνατον. *Qui rumore et favore populi tenetur et ducitur: plausum, immortalitatem; sibilum,* mortem *videri necesse est.* Cic. pro Sextio. Chrysostomus homiletis nonnullis plausum βασιλείας ἴσον, ejusdem negati moerorem γεέννης χαλεπώτερον fuisse ait Homil. cit. in Acta.

Digitized by Google

οὕτως αὐτῷ πικρὰν καταστήσει τὴν ζωὴν, ἐπεμβαίνων φανερῶς, καταμωκώμενος [11]) λάθρα, τῆς ἐξουσίας πολλὰ παρασπῶν τῆς ἐκείνου, πάντα αὐτὸς εἶναι βουλόμενος. μεγίστην δὲ ἐν ἅπασι τούτοις ἀσφάλειαν, τὴν ἐν τῷ λέγειν κέκτηται παρρησίαν, καὶ τὴν τοῦ πλήθους περὶ αὐτὸν σπουδὴν, καὶ τὸ φιλεῖσθαι παρὰ τῶν ἀρχομένων ἁπάντων. ἢ οὐκ οἶδας, ὅσος 491
ταῖς τῶν Χριστιανῶν ψυχαῖς λόγων ἔρως [12]) εἰσεκώμασε [13]) νῦν; καὶ ὅτι μάλιστα πάντων οἱ τούτους ἀσκοῦντες ἐν τιμῇ,

---

11) καταμωκώμενος. Chald. מוּק *irridere*. Gr. μῶκος, *irrisor*. verbum etiam Belgis, Anglis, Gallis usitatum. [Heliodorus Lib. VII, p. 350. ἐγγελῶν καὶ τοῦ Θεαγένους καταμωκώμενος. Cf. 2. Paralip. XXX, 10. Sirac. XIII, 9. Suidas: καταμωκώμενος· χλευαζόμενος. Hesychius: καταμωκᾷ· καταγελᾷ. Respondet Latinorum *subsannare*. Vid. *Salmas. Scriptt. Hist. August.* p. 283. *L.*]

12) ἔρως. Idem dicit §. 452. Facile hinc existimari possit, aevo illo Augusteo Romae novae eloquentiam atque adeo linguam Graecam quadam quasi παλιγγενεσίᾳ, non diu quidem, gavisam, et opinione fortasse magis, quam revera inferiorem fuisse temporibus illorum veterum, qui §. 424. appellantur. Majori detrimento studium illud quam ornamento fuisse regno Christi, neque hoc loco neque alibi diffitetur Chrysostomus, et res ipsa probat; multique praesertim inde conatus in monumenta ecclesiastica temerarii sunt nati: sed iis tamen, quos illud studium delectat, vel haec res persuadere tantisper debebat, ut Christianos potius quam profanos colerent. *Vincentius Obsopoeus*, quum *Marci Eremitae* libellos ederet, id eo factum consilio praefatus est, ut hos ipsos scholae suae discendos proponeret. *nam quod ad hujus Marci*, inquit, *gnomas attinet, ejus generis mihi esse videntur, ut puerorum potius pectoribus instillandae sint, quam Theognidis versiculi gnomologici. nam multa valde pie, omnia certe eleganter et docte in his docentur.* Dialogos *Theodoreti Suicerus* in Praef. Observationum, quas recens a lectione omnium Graecorum patrum edidit, loco profanorum auctorum in gymnasiis publice explicandos censuit; cum ipse antea ἐμπύρευμα εὐσεβείας ex Chrysostomo, Basilio aliisque edidisset. Atque in ipso Chrysostomo complures pridem id fecerunt alii. Homiliarum selectarum editio *Jaegeriana*, cum luculenta praefatione, patres potius quam externos scriptores in scholis Christianis tractandos asserente; homiliarum in Ep. ad Philemonem, *Rapheliana* exstat. utramque *Fabricius* Bibl. Gr. Vol. 7. p. 649 s. eo nomine laudat, quod *utile hoc sit institutum, ex vasta illa ac sumtuosa voluminum Chrysostomi mole seligere quaedam et juventuti minoribus facileque parabilibus libellis legenda commendare.* De hoc ipso Dialogo in Praefatione egimus: scriptor Ephem. Londin. quum editionem ejus Cantabrigiensem probasset, addit: *Optandum esset, ut optimi tractatus patrum excuderentur separatim, in usum eorum, qui non habent facultatem emendi opera horum scriptorum veterum.*

13) ψυχαῖς εἰσεκώμασε, *an ignoras, quantum Christianorum animis hodie studium orationum invaserit.* Legitima constructio. [Non inepte usus est Chrysostomus verbo εἰσκωμάζειν, quod dicitur proprie de juvenibus, qui post coenas per vicos obambularent et in domos non clausas invaderent. Descendit enim hoc verbum a κῶμος, de quo vid. *Wahl.* in Clav. N. T. T. I, p. 873. *L.*]

Digitized by Google

οὐ παρὰ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς τῆς πίστεως
492 οἰκείοις; Πῶς οὖν ἄν τις ἐνέγκοι τοσαύτην αἰσχύνην, ὅτ' ἂν αὐτοῦ μὲν φθεγγομένου πάντες σιγῶσι,[14]) καὶ διοχλεῖσθαι νομίζωσι, καὶ τοῦ λόγου τὸ τέλος, ὥσπερ τινα πόνων ἀνάπαυσιν, περιμένωσι· θατέρου δὲ καὶ μακρὰ λέγοντος μετὰ προθυμίας ἀκούωσιν, καὶ παύσεσθαι μέλλοντος δυσχεραίνωσι, καὶ
493 σιγᾶν βουλομένου παροξύνωνται; Ταῦτα γὰρ εἰ καὶ μικρά σοι δοκεῖ εἶναι νῦν καὶ εὐκαταφρόνητα, διὰ τὸ ἀπείρατον· ἀλλ' ἱκανά γε ἐστὶ προθυμίαν σβέσαι, καὶ ψυχῆς παραλῦσαι δύναμιν, ἣν μὴ πάντων τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἀναστάσας παθῶν, ὁμοίως ταῖς ἀσωμάτοις μελετήσῃ διακεῖσθαι δυνάμεσιν, αἳ μήτε φθόνῳ, μήτε δόξης ἔρωτι, μήτε ἑτέρῳ τινὶ
494 τοιούτῳ θηρῶνται νοσήματι. Εἰ μὲν οὖν τίς ἐστιν ἀνθρώπων τοιοῦτος, ὡς δύνασθαι τὸ δυσθήρατον τοῦτο καὶ ἀκαταγώνιστον καὶ ἀνήμερον θηρίον, τὴν τῶν πολλῶν δόξαν, καταπατεῖν, καὶ τὰς πολλὰς αὐτῆς ἐκτέμνειν κεφαλὰς, μᾶλλον δὲ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρεῖν· δυνήσεται εὐκόλως καὶ τὰς πολλὰς ταύτας ἀποκρούεσθαι προσβολὰς, καὶ εὐδίου[15]) τινὸς ἀπολαύειν λιμένος.[16]) ταύτης δὲ οὐκ ἀπηλλαγμένος, πόλεμόν τινα πολυειδῆ, καὶ θόρυβον συνεχῆ, καὶ ἀθυμίας καὶ τῶν λοιπῶν παθῶν τὸν ὄχλον κατασκεδάζει τῆς ἑαυτοῦ ψυχῆς.[17])
495 Τί δεῖ τὰς λοιπὰς καταλέγειν δυσκολίας; ἃς οὔτε εἰπεῖν οὔτε μαθεῖν δυνήσεταί τις, μὴ ἐπὶ τῶν πραγμάτων γενόμενος αὐτῶν.

---

14) *σιγῶσι.* ***Silentium*** hic dicitur denegati applausus; alibi, attentae auscultationis, de quo *Cresoll.* Theat. rhet. p. 290.

15) *εὐδίου.* Aliquot Mss. *εὐδιεινοῦ.* ***Montef.*** Placet medium Augustani, *εὐδινοῦ.* Hesychius, *εὐδινὰ, πραέα, κατεσταλμένα. εὔδιος* exstat §. 301. [Male ***Bengelius*** stat pro lectione *εὐδινοῦ.* Nam *εὐδινὸς* est id. q. *εὐδίνητος* et significat, quod facile volutari potest. Ergo in nostrum locum omnino non quadrat. Aptissimum huic loco videtur *εὐδιεινός*, quod dicitur de iis rebus, quae vento et frigori non sunt expositae. Vid. Xenoph. De Venat. V, 9. ubi lepus dicitur, *ποιούμενος εὐνὴν, ὅταν μὲν ᾖ ψυχὴ, ἐν εὐδιεινοῖς* sc. *χωρίοις.* ***L.***]

16) *λιμένος.* ***Gregorius M.*** Curae pastoralis partem extremam habet hanc: *qualiter praedicator omnibus rite peractis ad semetipsum redeat.*

17) *κατασκεδάζει τῆς ἑαυτοῦ ψυχῆς.* Cod. Olivar. habet *κατασκεδάσει*, quae lectio, quia de re futura h. l. agitur, unice vera esse videtur. ***Ducaeus*** scripsit *κατασκευάζει τῇ ἑαυτοῦ ψυχῇ*, quae tamen lectio ex glossemate orta videtur. Vid. ***Hughes*** ad h. l. pag. 303. ***L.***

Digitized by Google

ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ

ΛΟΓΟΣ ϛ'.

Τάδε ἔνεστιν ἐν τῷ ϛ' λόγῳ.

α'. Ὅτι καὶ ταῖς εὐθύναις τῶν ἑτέρων ἁμαρτανομένων ὑπόκεινται οἱ ἱερεῖς.

β'. Ὅτι τῶν μοναζόντων πλείονος δέονται ἀκριβείας.

γ'. Ὅτι πλείονος εὐκολίας ἀπολαύει ὁ μονάζων, παρὰ τὸν ἐκκλησίας προεστῶτα.

δ'. Ὅτι τῆς οἰκουμένης τὴν προστασίαν ἐμπεπίστευται ὁ ἱερεύς, καὶ ἕτερα πράγματα φρικτά.

ε'. Ὅτι πρὸς πάντα ἐπιτήδειον εἶναι χρὴ τὸν ἱερέα.

ϛ'. Ὅτι οὐχ οὕτω τὸ μονάζειν, ὡς τὸ πλήθους προεστάναι καλῶς, καρτερίας σημεῖον.

ζ'. Ὅτι οὐχ ὑπὲρ τῶν αὐτῶν, τῷ τε καθ' ἑαυτὸν ὄντι καὶ τῷ ἐν μέσῳ στρεφομένῳ, ἡ ἄσκησίς ἐστιν.

η'. Ὅτι εὐκολώτερον τὴν ἀρετὴν οἱ καθ' ἑαυτοὺς ὄντες, ἢ οἱ πολλῶν φροντίζοντες κατορθοῦσιν.

θ'. Ὅτι οὐ χρὴ καταφρονεῖν τῆς τῶν πολλῶν ὑπολήψεως, κἂν ψευδὴς οὖσα τύχῃ.

ι'. Ὅτι οὐ μέγα σῶσαι ἑαυτόν.

ια'. Ὅτι πολλῷ χαλεπωτέρα μένει τιμωρία τὰ τῶν ἱερέων ἁμαρτήματα, ἢ τὰ τῶν ἰδιωτῶν.

ιβ'. Ἐκ παραδειγμάτων παράστασις καὶ τῆς ὀδύνης, τῆς διὰ τὴν προσδοκίαν τῆς ἱερωσύνης γενομένης, καὶ τοῦ φόβου.

ιγ'. Ὅτι παντὸς πολέμου χαλεπώτερος ὁ τοῦ διαβόλου πρὸς ἡμᾶς.

Καὶ τὰ μὲν ἐνταῦθα τοιαῦτα, οἷάπερ ἤκουσας· τὰ δὲ ἐκεῖ [1] πῶς οἴσομεν, ὅτ' ἂν καθ' ἕκαστον τῶν πιστευθέντων ἀναγκαζώμεθα τὰς εὐθύνας ὑπέχειν; οὐ γὰρ μέχρις αἰσχύνης ἡ ζημία, ἀλλὰ καὶ αἰώνιος ἐκδέχεται κόλασις. Τὸ γὰρ, πείθεσθε [2] τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες, [3] εἰ

496

497

1) ἐκεῖ. In vita altera, post mortem. *L.*

2) πείθεσθε. Locus notissimus legitur Hebr. XIII, 17. *L.*

3) ὡς λόγον ἀποδώσοντες. Ed. prima omittit. Saepe dicta nota non omnibus suis verbis recitantur: et hoc loco verisimile est, Johannem haec tria verba εὐλαβείας causa reticuisse, memorem eorum, quae §. 338. dixisset; librarium, quasi maxime ad rem pertinentia, supplevisse. [Equidem non puto, haec verba a Chrysostomo omissa esse, nam totum versiculum horum trium vocabulorum gratia attulit. *L.*]

Digitized by Google

καὶ πρότερον εἶπον, ἀλλ' οὐδὲ νῦν σιωπήσομαι. ὁ γὰρ φόβος ταύτης τῆς ἀπειλῆς συνεχῶς κατασείει [4]) μου τὴν ψυχήν. Εἰ γὰρ τῷ μόνον ἕνα σκανδαλίζοντι [5]) καὶ ἐλάχιστον, συμφέρει, ἵνα μύλος ὀνικὸς περιτεθῇ εἰς τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ εἰς τὴν θάλατταν, καὶ πάντες οἱ τὴν συνείδησιν τῶν ἀδελφῶν τύπτοντες, εἰς μικρὸν ἁμαρτάνουσι τὸν Χριστόν· οἱ μὴ μόνον ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ πλήθη τοσαῦτα ἀπολλύντες, τί ποτε ἆρα πείσονται, καὶ ποίαν δώσουσι δίκην; Οὐδὲ γὰρ ἀπειρίαν ἐστὶν αἰτιάσασθαι, οὐδὲ εἰς ἄγνοιαν καταφυγεῖν, οὐδὲ ἀνάγκην προβαλέσθαι καὶ βίαν· ἀλλὰ θᾶττον ἄν τις τῶν ἀρχομένων, εἴγε ἐνῆν, ἐν ταῖς οἰκείαις ἁμαρτίαις ἐχρήσατο ταύτῃ τῇ καταφυγῇ, ἢ ἐν ταῖς ἑτέρων οἱ πρδεστῶτες. Τί δήποτε; ὅτι ὁ ταχθεὶς τὰς τῶν ἄλλων ἀγνοίας ἐπανορθοῦν, καὶ τὸν διαβολικὸν πόλεμον προμηνύειν [6]) ἐρχόμενον, οὐ δυνήσεται προβαλέσθαι τὴν ἄγνοιαν, οὐδὲ εἰπεῖν, οὐκ ἤκουσα τῆς σάλπιγγος, οὐ προήδειν τὸν πόλεμον. Ἐπὶ τούτῳ γὰρ ἐκάθισεν, ὡς ὁ Ἰεζεκιὴλ [7]) φησιν, ἵνα καὶ τοῖς ἄλλοις σαλπίζῃ, καὶ προμηνύῃ τὰ μέλλοντα δυσχερῆ. καὶ διὰ τοῦτο ἀπαραίτητος ἡ κόλασις, κἂν εἷς ὢν ὁ ἀπολωλὼς τύχῃ. ἐὰν γὰρ τῆς ῥομφαίας ἐρχομένης, μὴ σαλπίσῃ τῷ λαῷ, μηδὲ σημάνῃ (φησὶν) ὁ σκοπὸς, καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ψυχήν· αὐτὴ μὲν διὰ τὴν ἀνομίαν αὐτῆς ἐλήφθη, τὸ δὲ αἷμα αὐτῆς ἐκ χειρὸς τοῦ σκοποῦ ἐκζητήσω.

II. Παῦσαι τοίνυν ὑμᾶς ὠθῶν εἰς οὕτως ἄφυκτον [1]) δίκην· οὐ γὰρ ὑπὲρ στρατηγίας οὐδὲ βασιλείας [2]) ἡμῖν ὁ λόγος,

---

4) κατασείει. *G. Bullus* lib. cit. p. 32. hoc ipsum, ut rationem reddituri, producens, addit: *Terroris sane plena consideratio! et S. Chrysostomus docet nos, textum hunc legenti sibi κατασείειν τὴν ψυχήν, efficere intra sese quendam quasi terrae motum:* idemque laudatis, p. 33. ad h. l. apostolicam verbis Chrysostomi cum aliis, tum maxime illis: θαυμάζω εἴ τινά ἐστι τῶν ἀρχόντων σωθῆναι, miror, si quisquam eorum, qui praesunt, salvari potest, subiungit: *Pathetica hyperbole! profundum Chrysostomi sensum exprimens de summo pastoralis officii periculo.* Omnino Homilia illa in Ep. ad Hebr. indicat, semper illum locum, *Parete — redditurι*, ei fuisse in animo.

5) σκανδαλίζοντι. Matth. XVIII, 6. *L.*

6) τὸν διαβολικὸν — προμηνύειν, *annuntiare bellum cum Satana subeundum.* Sapient. Salom. XVIII, 19. ὄχεσι φορυβήσαντες αὐτοὺς τοῦτο προεμήνυσαν. *L.*

7) Ἰεζεκιὴλ c. III, 16 s.

1) ἄφυκτον est inexplicabile, quo quasi irretitus vix possis expediri. Platon Euthyd. §. 14. πάντ', ἔφη, τοιαῦτα ἡμεῖς ἐροτῶμεν ἄφυκτα. Vid. *Heindorf.* ad Plat. Theaetet. p. 359. *L.*

2) βασιλείας. Ὑπὲρ βασιλείας. *Montef.*

Digitized by Google

ἀλλ' ὑπὲρ πράγματος ἀγγελικῆς ἀρετῆς δεομένου. Καὶ γὰρ 504
τῶν ἀπτίνων αὐτῶν καθαρωτέραν [3]) τῷ ἱερεῖ τὴν ψυχὴν εἶ-
ναι δεῖ, ἵνα μή ποτε αὐτὸν ἔρημον καταλιμπάνῃ τὸ Πνεῦμα
τὸ ἅγιον, [4]) ἵνα δύνηται λέγειν· Ζῶ δὲ, οὐκ ἔτι ἐγὼ, ζῇ δὲ
ἐν ἐμοὶ Χριστός. [5]) Εἰ γὰρ οἱ τὴν ἔρημον οἰκοῦντες, καὶ πό- 505
λεως καὶ ἀγορᾶς καὶ τῶν ἐκεῖθεν ἀπηλλαγμένοι θορύβων, καὶ
διαπαντὸς λιμένων καὶ γαλήνης [6]) ἀπολαύοντες, οὐκ ἐθέλουσι
θαῤῥεῖν τῇ τῆς διαίτης ἐκείνης ἀσφαλείᾳ· ἀλλὰ μυρίας ἑτέρας
προστιθέασι φυλακὰς, πάντοθεν ἑαυτοὺς περιῳῤῥάττοντες, καὶ
μετὰ πολλῆς τῆς ἀκριβείας καὶ λέγειν ἅπαντα καὶ πράττειν
σπουδάζοντες, ἵνα μετὰ παῤῥησίας καὶ καθαρότητος εἰλικρι-
νοῦς, ὅσον εἰς ἀνθρωπείαν ἦκε δύναμιν, προσιέναι τῷ Θεῷ [7])

---

3) καθαρωτέραν. *N. Hemmingius* in *Pastore*, ejus ideam pro vita privata, domestica, civili, ipsaque pastorali, quatuor informavit partibus, totam partem primam definiit studio *puritatis*, ex 1. Tim. 5, 22. puritatem autem dicit primum *animi* h. e. mentis, cogitationum, affectuum, voluntatis, studii, deinde corporis.

4) τὸ ἅγιον. Hoc ipso quam non carere possit sacerdos, vide Joh. 20, 22.

5) Χριστός. Gal. 2, 20. Confer, quae Paulus de se ut ministro evangelii scribit 2. Cor. 13, 3. Rom. 15, 18.

6) γαλήνη proprie est *tranquillitas maris*. Homer. Odyss. VII, 319. Xenoph. Anabas. V, 7, 8. H. l. in universum tranquillitatem notat. Commode tamen hoc vocabulo usus est Chrysostomus ob praecedens λιμένων. *L.*

7) προσιέναι τῷ θεῷ. Aurea et ediscì digna sunt verba *Gregorii Naz.* in Apologetico, illo se amore solitudinis fugisse contentis. [ed. *Thirlb.* p. 321. *L.*] *Meo subibat*, inquit, *animo desiderium quoddam illius boni, quod in quiete inest atque in solitudine: quam cum tantum amassem ab initio, quantum haud scio an quisquam eorum qui in studio literarum versantur, cumque eam in maximis gravissimisque periculis Deo recepissem; quanquam antea jam attigeram quasi in vestibulo, quo quidem majorem in me cupiditatem accenderat experientia: non sum passus cogi me, in medioque tumultus extrudi, et quasi a sacro quodam asylo vi abstrahi. Nihil enim tam optandum existimavi, quam ut clausis sensibus, extra carnem et mundum positus et intra me ipsum collectus, nil rerum humanarum citra summam necessitatem attingens, mecum colloquens et CUM DEO, supra ea quae cernuntur degerem: ut divinas* (ἐμφάσεις) *illustrationes semper puras in me ipso ferrem, ab iis quae infra errant formis tinceras, tanquam qui revera speculum Dei divinarumque rerum nitidissimum et essem et semper fierem, super lucem adauctus luce, eaque super obscuriorem clariore; denique boni illius, quod futurum habet aevum, spe non simplici fructum percipiens: ut versarer inter angelos, terram, in terra dum essem, relinquens, et a spiritu supra collocatus.* Id verò est Deo se probare. §. 275. [Eximia, quam Chrysostomus de vita monastica habebat, opinio ab eo exponitur imprimis in tribus libris, quos pro vita religiosa scripsit. „Monachum in his libris asserit quovis mun-

Digitized by Google

δύνωνται· πόσης οἴει δεῖν τῷ ἱερωμένῳ καὶ δυνάμεως καὶ βίας, ὥστε δυνηθῆναι παντὸς ἕξαρπάσαι μολυσμοῦ τὴν ψυχήν, καὶ
506 ἀσινὲς τὸ πνευματικὸν τηρῆσαι κάλλος; [8]) Καὶ γὰρ πολλῷ μείζονος αὐτῷ δεῖ καθαρότητος, [9]) ἢ ἐκείνοις· καὶ ᾧ μείζονος δεῖ, οὗτος πλείοσιν ἀνάγκαις ἐκείνων ὑπόκειται, ταῖς δυναμέναις αὐτὸν ῥυποῦν, ἢν μὴ τῇ δυνηκεῖ νήψει καὶ τῷ πολλῷ
507 τόνῳ χρησάμενος, ἄβατον αὐταῖς ἐργάσηται τὴν ψυχήν. Καὶ γὰρ προσώπων [10]) εὐμορφία, καὶ κινημάτων διάθρυψις; [11])

---

dano illustriorem, potentiorem, atque etiam divitiorem esse; monet, quam sit difficile in mundo salutem assequi, in educandis liberis ad normam Christianam quanta insit difficultas. Monachorum statum cum angelorum ac sanctorum statu confert." *Du Pin. Nova Bibliothec. Auctor. Ecclesiast.* T. III, p. 58. *L.*]

8) καὶ ἀσινὲς — κάλλος, *et indelibatam servare animae pulchritudinem.* Cf. §. 212. *L.*

9) καθαρότητος. *Sunt in ecclesia universa tres hominum status, qui si invicem comparentur, alter alterum clarius indicabit. Primus est secularium laicorum, cui hoc inest incommodum, quod pauca habet ad perfectionem adjumenta, multa vero impedimenta: sed hoc tamen commodi, quod nullam habet perfectionis obligationem praeter eam quam evangelicae leges omnibus Christianis imponunt. Secundus est religiosorum, qui aliqua certe obligatione tenentur, non tam ut sint perfecti, quam ut esse cupiant et conentur; sed ad hoc tam multa et tam magna nacti sunt praesidia, itaque remoti sunt ab omnibus impedimentis, ut non solum facile, sed etiam jucunde ac suaviter id consequi possint. Tertius est hic de quo agimus, clericorum, qui si recte perpendamus, utriusque fere incommodis premitur, utriusque autem fere commodis caret. primum enim eandem habent quam religiosi obligationem perfectionis adipiscendae, ac sine dubio aliquanto etiam majorem, ex ministerii praestantia, et sacramentorum quae conficiunt divinitate, ex animarum gubernatione: neque tamen habent ea, quae religiosi adjumenta, neque eum gratiae uberioris influxum, de quo multa diximus. rursus hoc etiam deteriori conditione esse videntur, quam ipsi laici, quod nec illorum excusatione uti possunt, si minus perfecti sint, et tamen eadem pene omnia, quae illi, perfectionis impedimenta patiuntur.* Hier. Platus de Bono status relig. p. 218. ed. Ingolst. Quae recto judicio accepta, multam cogitandi materiam praebent.

10) προσώπων — γένος. Sic *Ephraim*, περὶ ἀρετῶν καὶ κακιῶν, c. 23. praeter cetera notat χρόας σωμάτων, λαλιὰς κολακευτικὰς, σώματος (leg. ἄσματος) ἡδύτητα, ἐνοπτρισμοὺς κινημάτων. *Basilius Sel.* Qr. 8. de Joseph ab hera frustra solicitato: τὰς δι' ὀμμάτων ἀπάτας, τὰς δι' ὀσφρήσεως. λίθους (fort. τὰς δι' ὀσφρήσεως ἐπαγωγὰς, τοὺς διὰ γεύσεως ὀλίσθους) τὰς δι' ἀκοῶν τῆς ψυχῆς πολιορκίας, τὰς διὰ φύσεως κλάσεις (fort. δι' ἁφῆς ἐπικλάσεις) τοῦ σώματος. hiatum certe arguit quod continuo sequitur, δι' ΟΛΩΝ γὰρ ὧδευε τῶν αἰσθητηρίων τὰ θέλγειν ἰσχύοντα. Plurima de veteri ornatu muliebri varietate collegit *Andr. Tiraquellus* in Leg. connub. f. 41—69. et *Joh. Pricaeus* in Annot. ad 1. Tim. 2, 9.

11) κινημάτων διάθρυψις, *motuum exquisita mollities. Alibi noster auctor* διατεθρυμμένην βάδισιν *et* διαπεκλασμένην *conjungit. Hoeschelius.*

Digitized by Google

καὶ βαδίσεως ἐπιτήδευσις, [12]) καὶ φωνῆς διάκλασις, [13]) καὶ ὀφθαλμῶν ὑπογραφαὶ, [14]) καὶ παρειῶν ἐπιτρίμματα, [15]) καὶ πλεγμάτων σύνθεσις, [16]) καὶ τριχῶν βαφαὶ, καὶ ἱματίων πολυτέλεια, καὶ χρυσίων ποικιλία, καὶ λίθων κάλλος, καὶ μύρων εὐοδμία, καὶ τἆλλα πάντα, [17]) ἃ τὸ γυναικεῖον ἐπιτηδεύει γένος, ἱκανὰ θορυβῆσαι ψυχὴν, ἣν μὴ πολλῇ τῇ τῆς σωφροσύνης αὐστηρότητι ἀπεσκληκυῖα [18]) τύχῃ. Ἀλλὰ τὸ μὲν 503
ὑπὸ τούτων ταράττεσθαι, θαυμαστὸν οὐδέν· τὸ δὲ καὶ διὰ τῶν τούτοις ἐναντίων δύνασθαι βάλλειν τὸν διάβολον καὶ κα-

---

12) *βαδίσεως ἐπιτήδευσις. incessus affectatio.*

